31. *προϊδων* (AC*K al$^{2\ ser}$ *-ειδων*) et. Eus$^{ecl\ 79}$ etp$^{s\ 52}$ Cyr$^{act\ 19}$ Thdrt^{1,668} al Ir$^{int\ 193}$ etc ... D$^{gr\ 2}$ 1. 60. 69. 100. 104. 127. 163. *προειδως.* Praeterea D* d om (:: excidit versus) *προϊδ. ελαλ. περι τησ* | *ουτε* pri (Gb″) cum ℵABCD 15. 18. 25. 36. 40. 61. 118. 130. e vg Eus^{ecl} etp^{s} Chr^{9,58} Cyr$^{act\ 19}$ Ir$^{int\ 193}$ Victorin$^{ari\ 3,16}$ Fulg^{tras} (Bed$^{retract\ 108}$ – vide ad v. 30 – h. l. non tam ℵ quam e respexisse vdtr) ... ς *ου* (ℵ 5. 96. 104. 105. 136. 163. 12^{lect} Thdrt *ουκ*) cum ΕΡ al plu sah cop syr^{utr} Thdor$^{ant\ 613}$ Thdrt^{1,693} Did$^{int\ 281}$ Philast$^{baer\ 41}$. Item *ουτε* sec cum ℵA cD 5. 13. 15. 18. 33. 34. 36. 40. 61. 69. 118. 130. 163. Eus^{ecl} etp^{s} Chr Cyr^{act} ... ς *ουδε* cum DΕΡ al plu Thdor^{ant} Thdrt Did$^{int\ 281}$. Bis *ουδε* Thaum$^{anath\ 9}$. | *ενκατελειφθ.* (*ενκ-* c. ℵBCDK; Ln Ti *εγκ.*– c. A) cum (Gb″) ℵABCDK (sed D* *ενκαταλ-*, C *-λημφθη*) 5. 13. 15. 18. 36. 40. 57. 61. al plus^{15} Thaum$^{anath\ 9}$ Eus^{ecl} etp^{s} Chr Cyr^{act} Thdor^{ant} Thdrt ... ς *κατελειφθη* cum P 1. 31. al plu. Scripsimus autem *ενκατελ.* sine additam cum ℵABC*D 61. 76. 81. vg sah cop syr^{sch} aeth ar^{e} Eus^{ecl} etp^{s} Ir^{int} Did$^{int\ 281}$ Victorin$^{ari\ 3,16}$ ... ς (= Gb) add *η ψυχη αυτου* cum C^{3}ΕΡ al pler syrP arm arP Thaum$^{anath\ 9}$ Chr^{9,58} Thdor^{ant} Thdrt Philast$^{baer\ 41}$ Fulg^{tras} (sed Thaum Chr Philastr ante *ενκατελ.*, syrP Thdrt post *αδου* pon). Item Bed$^{retract\ 108}$ testatur, vide ad v. 30 | *αδην* cum ℵB 15. 18. 27. 29. 36. 40. 61. 69. 96. 100. 104. 118. 127. 130. 161. 163. al$^{2\ ser}$ Eus^{ecl} etp^{s} Thaum$^{anath\ 9}$ ... ς Ln *αδου* cum AC DΕΡ al plu Chr^{9,58}

32. *τουτον* et. Eus$^{ps\ 52}$ Chr^{9,59} Ir$^{int\ 193}$ Did$^{int\ 281}$ etc ... D*K d Victorin$^{ari\ 3,16}$ Amb$^{ioseph\ 509}$ add *ουν* | *τον* et. Eus^{ps} Chr ... D* om | *εσμεν* hoc loco et. Eus^{ps} Chr Cosm^{503} Ir^{int} etc ... ℵ ante *ημεις*, D vg Did^{int} post *μαρτυρες* pon, P* om

33. *την τε*: D *και την* (Thdrt$^{dial\ spi\ 5,1044}$ *την δε*) | *του πνευμ. του αγ.* cum ℵABCK 5. 13. 61. 130. d vg (uterq *spir. sancti*, item Did$^{int\ 281}$ Amb^{ios} al) Chr^{9,59} ... ς *του αγιου πνευματος* cum DG^{gr}P al pler Thdrt^{dial} Cosm^{503} Ir$^{int\ 193}$ | *εξεχεεν*: D*d add *υμειν* | *τουτο ο*: 40. 133. *τουτον ον*, vg (et. am fu) lux *hunc quem* (quod spectat ad *spiritum*) ... ℵ demid tol sah syr^{sch} etP txt ar^{e} Ir$^{int\ 193}$ Did$^{int\ 281}$ Amb$^{ioseph\ 509}$ *τουτο το δωρον*, *hoc donum quod* (Ir^{int} *donationem hanc quam*, Philast^{726} *hanc gratiam quam*) | *υμεις* (DG^{gr*} d om) sine *νυν* cum ℵABC*D^{2} 10* 15. 18. 27. 29. 36. 61. 81. 127. 130. vg sah cop syr^{sch} arm aeth Did$^{int\ 281}$ Thdrt$^{dial\ 5,1044}$ ... ς (Gb^{00}) praem *νυν* cum C^{3}ΕΡ al plu syrP arP Cosm^{503}, item Ir$^{int\ 193}$ add *νυν* | *και βλεπετε* cum BD 81. arm^{zoh} ... Ln

Ps 109 (110), 1 Mt 22, 44. pp Heb 1, 13 1 Co 15, 25 γὰρ Δαυεὶδ ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει δὲ αὐτός· εἶπεν κύριος τῷ κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, 35 ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. 36 ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι καὶ κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ θεός, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε.

Lc 2, 10. 14 37 Ἀκούσαντες δὲ κατενύγησαν τὴν καρδίαν, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· τί ποιήσωμεν, ἄνδρες

[και] βλεπ., ς om και cum ℵACEP al pler vg syr^{utr} rell Did$^{int\,281}$ Thdrt dial 5,1044

34. δαυειδ cum ℵBD; per compendium ACKP ... ς (et. Gb) δαβιδ, Sz δαυιδ cum minusc | λεγει δε, vg^{cle} *dixit* (am fu demid Ir$^{int\,193}$ *dicit*) *autem* ... D ειρηκεν (d *dixit*) γαρ (γαρ et. syr^{sch} exprim) | ειπεν (et. d e fu demid Ir^{int} *dixit*): D^{Gr} am λεγει (*dicit*), item Bed$^{retract\,109}$ *Quidam codd. habent: Dicit dominus, sed Graeca exemplaria et in hoc libro et in psalterio habent: Dixit dominus* | κυριος cum ℵ*B*D ... ς Ln Ti o κυρ. cum ℵ^{c}AB^{3}CEP al pler Chr^{9,60} Thdrt^{1,1091}

35. εως αν: D* om αν | D* εκθρους, E εκθρους

36. οικος cum ℵABEP al fere omn Bas^{1,288} Epiph$^{728.\,764}$ Eustath^{ant} ap Thdrt^{4,224} Chr ... Ln o οικος cum CD C^{acr} | και κυριον (et. ς Gb Sz) cum ℵABCDKP al plus^{60} vg syrP arm^{zoh} aeth^{PP} Epiph$^{728.\,764}$ Nyssadv arI (Mai^{4,6}) Bas^{1,282} Ath$^{261.\,709}$ Chr^{9,60} etc Ir$^{int\,193}$ Tert$^{prax\,28}$ ... ς^{e} om και cum minusc mu syr^{sch} sah cop aeth Bas^{1,230} Eustath^{thdrt} (l. l.) | αυτον post κυριον (et. Gb Sz) cum ℵABCD^{2} (D* d om plane) 5. 15. 18. 36. 45. 69. 104. 130. 163. vg arm Bas$^{1,230.\,293}$ Ath^{261} (sed fluct lectio) Eustath^{thdrt} (l. l.) Chr Ir$^{int\,193}$ ... ς (= Gb Sz, sed Gb') post $\overline{\chi\upsilon}$ cum EP 61. al plu Ath^{709} (et^{261} fluct lectione) Epiph$^{728.\,764}$ et^{2,66} Nyss^{mal} et gall 6,570 Caes$^{dial\,1,25}$ ... sah cop ante [και om] κυριον, Tert^{prax} inter εποι. et ο θε., etc | εποι. ο θεος cum ℵB 61. vg^{cle} cop syr^{utr} aeth Bas^{1,230} Ath$^{261.\,709}$ Leont^{624} (Gall^{13}) Tert^{prax} Ambr$^{fid\,463}$ ... ς Ln o θε. εποι. cum ACDKP al pler am fu demid sah arm Bas^{1,293} Epiph$^{728.\,764}$ Chr^{9,60} Eustath^{thdrt} Ir$^{int\,193}$ | τουτον τον: D* om τον

37. ακουσαντ. δε (E^{Gr} Aug$^{unit\,ecc\,250}$ οιν, fu Aug$^{ps\,73}$ om) ... D syr^{h} mg τοτε παντες οι συνελθοντες και ακουσαντες | κατενυγησαν: E Gl. κατηνυγ. | την καρδιαν cum ℵABC 36. 61. 118. 130. Bas$^{eth\,243}$ Epiph^{27} Chr^{9,65} ... ς τη καρδια cum DEP al pler (e vg *compuncti sunt corde*, d *stimulati sunt corde*) | ειπον τε cum ABCP al pler Bas$^{eth\,243}$ Chr, item *et dixerunt* vg etc. Similiter E και ειπον, 19. 61. ειπον δε ... ND$^{Gr\,2}$ (vide post) 18. 24. 26. 56. 73. 103. Ir^{scr} Aug$^{unit\,ecc\,250}$ (sed$^{ps\,73}$ *et dixerunt*) ειποντες ... D* d και τινες εξ αυτων ειπαν (D$^{Gr\,2}$ ειποντες, sed Scri non testatur και τιν. εξ αυτ. deleta esse) | λοιπους: D 104. Aug^{unit} ecc1 om (libere Aug^{ps} *et dixer. ad apostolos*) | ποιησωμεν cum ℵABC ℵ^{Gr}P 15. 18. 42. 61. 73. 101. 117. 130. al plus^{10} Bas$^{eth\,243}$ (ex^{ed} par et cod, non ed garn) Epiph^{27} Chr^{9,65} ... ς Ln Ti ποιησομεν cum D al plu Cyr$^{hr\,47}$. Item *quid faciemus* e vg Ir$^{int\,193}$ Aug$^{unit\,ecc1}$ et^{ps} et^{alibi} al.

ἀδελφοί; 38 Πέτροσ δὲ πρὸσ αὐτούσ· μετανοήσατε, φησίν, καὶ
βαπτισθήτω ἕκαστοσ ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰσ
ἄφεσιν τῶν ἁμαρτιῶν ὑμῶν, καὶ λήμψεσθε τὴν δωρεὰν τοῦ ἁγίου
πνεύματοσ. 39 ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖσ τέκνοισ ὑμῶν
καὶ πᾶσιν τοῖσ εἰσ μακράν, ὅσουσ ἂν προσκαλέσηται κύριοσ ὁ Eph 2, 13
θεὸσ ἡμῶν. 40 ἑτέροισ τε λόγοισ πλείοσιν διεμαρτύρατο, καὶ παρε-
κάλει αὐτοὺσ λέγων· σώθητε ἀπὸ τῆσ γενεᾶσ τῆσ σκολιᾶσ ταύτησ. Phil 2, 15

At Latt non distinxisse videntur inter -σωμεν et -σομεν, quemadmodum et. Lc 3, 10 sqq probatur, item h. l. E et e. | ανδρ. αδελφοι: DE tol syrp mg Augunit eccl etps 78, 779 (non item 45,401) etrin 992 add υποδειξατε ημιν. Testatur et. Bedretract 110: *In Graeco habetur plus: Monstrate nobis.* Addit: *quod verbum in opusculis eorum qui scripturas sanctas exposuerunt saepius huic sententiae adiectum invenimus.*

38. φησιν cum ℵAC 15. 18. 25. 36. 61. vg Cyrhr 47 (Ath 780 lat *Petrus enim Iudaeos alloquens: Paenitentiam, inquit, agite* etc); item D post πρ. αυτουσ ... ς εφη post πρ. αυτ. cum EP al pler (99. ειπε pro εφη) sah cop syrp (*dixit ad eos*) Thdrt 2,155; item 38. 67. 113. 12lect ειπε δε πετροσ πρ. αυτ., item omisso δε arm syrsch aeth (*et dixit* etc) ... Ln Ti om plane cum B 65. 127. 163. (3. ex silentio Alteri) Augps 45,401 (libere: *Et Petrus: Agite paenitentiam* etc; atunit eccl 356 *Petrus autem dixit ad eos* etc), item vgcod ap Ln :: om Lc εφη vel simile quid Act 25, 22. 26, 28, at nemo substituit φησιν quemadmodum h. l. legitur. (Etiam quae 9, 5 aliena manu addita leguntur absque εφη scripta sunt.) | επι τω cum ℵAEP al omnvid Bas 2,114 Chr 9,66 ... Ln εν τω cum BCD Cyrhr 47 Epiph 27 Cyr 4,893 Thdrt 2,155 (item 1,305 et 4,1269 εισ το ονομα) :: Act 10, 48 ubi εν τω scriptum est nemo mutavit, nec magis εισ το 19, 5 | ιυ χυ cum ℵABCP al pler vgcle fu demid tol cop aeth Chr Augunit eccl 356, item Irint 193 omisso χυ ... DE 60. 69. 100. 163. am sah syrsch (sed om χυ) etp arm Bas 2,114 Cyrhr 47 Cyr 4,893 Thdrt 1,305 et 2,155 et 4,1269 Cyp 134 al (vide ap Sab) praem του κυριου (Bascdd 2 Cyr Thdrtter etc τ. κυρ. ημων), item Epiph 27 add του κυριου ημων | των αμαρτιων υμων (C ημ.) cum ℵABC 40. 61. 96. (om των) vg sah cop (aethutr *et remittetur vobis peccatum vestrum*) (Aug modo reddit υμων modo non reddit) ... ς Ti αμαρτιων tantum cum DEP al pler syrutr arm Bas 2,114 Cyrhr 47 Chr Irint 193 Cyp 134 al (ap Sab) :: substituta est formula solennis εισ αφεσιν αμαρτιων, cf Mt 26, 28 Mc 1, 4 Lc 3, 3 | λημψ. cum ℵAB*CDE ... ς ληψ. cum B3P al omnvid

39. υμιν et υμων (et. Cyp 134 Lcif 215 ap Gall 6 Augunit eccl 356): D Aug fid et oper 171 ημειν et ημων | οσουσ cum ℵBDEP al pler vg (*quoscumque*) syrutr Chr 9,66 ... Ln ουσ cum AC 104., item sah cop

40. ετερ. τε (et. Lcif 215 Augunit eccl 357): Dgr kscr sah cop ετερ. δε | διεμαρτυρατο (Gb″) cum ℵABCDE 61. al plus 15 Chr 9,66 ... ς -τυρετο cum P minusc plu | αυτουσ cum ℵABCD 61. al fere 15 vg sah cop syrsch arm aeth Lcif 215 ... ς Ti om cum EP 1. 13. 31. al plu syrp (sed add

41 οἱ μὲν οὖν ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν, καὶ προσετέθησαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι· 42 ἦσαν δὲ προσκαρτεροῦντες τῇ διδαχῇ τῶν ἀποστόλων καὶ τῇ κοινωνίᾳ, τῇ κλάσει τοῦ ἄρτου καὶ ταῖς προσευχαῖς.

43 Ἐγίνετο δὲ πάσῃ ψυχῇ φόβος· πολλὰ δὲ τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο ἐν Ἰερουσαλήμ, φόβος τε ἦν μέγας ἐπὶ

αυτοισ c.* post διεμαρτ., quod idem syr^{sch} habet) Chr^{9,66bis} (Aug unit eccl ^{357} *testificabatur eis dicens* et$^{fid\ et\ oper\ 171}$ *testificabatur dicens*) | τησ σκολ. ταυτησ (et. Aug$^{unit\ eccl}$): D 11. 100. 103^{mg} 1^{lect} ταυτησ τησ σκολ., item vg Lcif Aug$^{fid\ et\ oper}$

41. αποδεξαμενοι (D πιστευσαντεσ) sine ασμε. cum ℵABCD 19. 61. vg sah cop aeth Clem^{371} Aug$^{unit\ eccl\ 357}$ ... ς (Gb^{00}) praem ασμενωσ cum EP al pler syr^{utr} arm Chr^{9,66} Aug$^{fid\ et\ oper\ 171}$ (*avidissime capientes exceperunt verba*). Testatur etiam Bed$^{retract\ 111}$ *Hunc locum alia translatio iuxta proprietatem Graecae veritatis ita habet: Illi quidem recipientes libenter verbum eius baptizati sunt* (ita prorsus e praeter *libenter recipientes*). Praeterea post *libenter receperunt sermonem eius* syr$^{p\ mg}$ sic: *et crediderunt et baptizati sunt*, item Aug$^{fid\ et\ oper}$ (post *excep. verba*) *et crediderunt et baptiz. sunt*, nec aliter$^{unit\ eccl}$ (post *illi vero recepto verbo hoc*) *crediderunt et bapt. sunt* | εν τη cum ℵABCD 15. 18. 19. 36. 61. vg ... ς om εν cum EP al pler Chr^{9,66} | τη ημερα εκειν η: D am fu demid εκειν. τ. ημερ. | ωσει (et. ℵ^{c}): ℵ* 104. 1^{scr} ωσ

42. ησαν δε: D syr^{sch} και ησαν | προσκαρτερουντεσ: 15. 18. 36. Chr^{9,66} cat$^{ox\ 54}$ add ομοθυμαδον (Chr: δυο αρεται, και το προσκαρτερειν και το ομοθυμαδον. Eadem repetit Thphyl$^{c\ 563}$.) | τη διδαχη: A 98. d vg praem εν (d vg *perseverantes in doctrina*; contra e *adstantes doctrinae*), hinc Ln [εν] τ. διδ. | αποστολων: D add εν ιερουσαλημ. Item tol post κ. ταισ προσευχαισ | τη κλασει cum ℵ*ABCD* 61., item *et* (d add *in*) *communicatione fractionis panis* d vg sah cop, similiter syr^{sch} aeth ... ς και τη κλ. cum ℵ^{c}D^{2}EP al pler syr^{p} arm Chr Thphyl^{c}

43. εγινετο (ℵ*CD εγειν.) δε c. ℵABCD 96** vg syr^{utr} ... ς εγενετο δε c. EP 1. 13. 31. 61. rell Chr^{9,67} | πολλ. δε c. ℵB 61. cop (sah πο. γαρ) ... ς Ln Ti πολλ. τε c. ACD^{2}EP al pler d (*multa etiam*) vg (*multa quoque*) syr^{utr} arm aeth Chr ... DE^{r*} 31. 133. 12^{lect} om copulam | σημεια: ℵ 25. add ου μικρα | δια τ. αποστ.: ℵ 18. 25. 40. 96. 130. 180. syr^{p} aeth utr ar^{e} δια των χειρων των απ. | εγινετο (ℵ*CD εγειν., ℵ 25. 64. 1^{scr} -νοντο, al plus^{10} εγενετο) huc loco cum ℵBDEP al omn^{vld} vg (vide post) syr^{p} arm ... AC syr^{sch} sah cop aeth ante δια των | εν ιερουσαλημ cum ℵACE 8. 13. 18. 19. 33. 34. 36. 40. 43* 96. 105. (18. 33. 36. cat εισ pro εν) vg (vg^{ed} *in Ierus. fiebant*, sed am fu demid *fieb. in hierusalem*) syr^{sch} cop Thphyl^{b} cat$^{ox\ 54}$ (D tol ad v. 42 traxerunt, vide ante) ... ς Ln Ti om cum BD 1. 31. 61. al plu sah syr^{p} arm aeth Chr^{9,67} | φοβ. τε ην μεγ. επι παντασ cum ℵAC 40^{mg} (om μεγασ?) al^{10} (qui ante, sed 8. 13. 18. 36. cat^{ox} post παντ. add αυτουσ; 104. om επ. πα.?) vg cop cat^{ox} ... ς Ln Ti om cum BDE al plu sah syr^{utr} arm aeth Chr ::

πάντας. 44 *καὶ πάντες δὲ οἱ πιστεύσαντες ἦσαν ἐπὶ τὸ αὐτὸ καὶ* 4, 32 ss
εἶχον ἅπαντα κοινά, 45 *καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπί-*
πρασκον καὶ διεμέριζον αὐτὰ πᾶσιν, καθότι ἄν τις χρείαν εἶχεν·
46 *καθ' ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ,*
κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει
καὶ ἀφελότητι καρδίας, 47 *αἰνοῦντες τὸν θεὸν καὶ ἔχοντες χάριν* 41
πρὸς ὅλον τὸν λαόν. ὁ δὲ κύριος προσετίθει τοὺς σῳζομένους 5, 14
καθ' ἡμέραν ἐπὶ τὸ αὐτό.

plura in caussa erant cur mutaretur scriptura quam expressimus. Verba *φοβ. τε ην* etc videbantur abundare praegressis *εγ. δε πασ. ψυ. φοβ., εν ιερου.* ut adderetur non opus erat, hoc praesertim loco. Commendat vero additamentum etiam copula *και* - *δε* quae sequitur, prorsus Lucana illa quidem. Non autem sensim a pluribus, sed ab uno mutata est totius loci scriptura, eum fere in modum quo ς habet. Certe scriptura plerumque edita non eam probabilitatem habet, ut testimonia gravia quae contra stant posthabenda videantur. Ex 5, 5 verba de quibus quaeritur derivari nequeunt.

44. *και παντες δε* cum ℵAC 15. 19. 20. 34. 40. 61. al pauc cat^{ox} (am demid *omnes enim*; syr^{sch} aeth *et omnes*) ... ς Lu Ti *παντ. δε* (omisso *και*) cum BEP al pler sah cop syr^{p} arm Chr^{9,67} (Or^{3,673} *ουτως δ εχει τα ρητα· παντες δε οι πιστευσαντες* etc) ... D vg^{cle} fu *παντ. τε* (*omnes etiam*) | *οι πιστευσαντες* cum ℵB h 4. 18. 19. 25. 36. 42. 46. 57. 69. 130. 177. 180. f^{ser} al^{5} arm aeth Or Thphyl^{b} cat$^{ox\,54}$ ... ς Lu Ti *οι πιστευοντες* cum ACDKP al plu (vg *qui credebant*) Chr | *ησαν* et *και*: B 57. Or Salvian$^{avarit\,3,10}$ (Gall^{10,73}) om | *απαντα* (et. Or): D *παντα*

45 *και τα* (61. om) *κτηματα* etc: D *και οσοι κτηματα ειχον η υπαρξεις*, item syr^{sch} | *διεμεριζον*: A *εμεριζον* | *αυτα*: D add *καθ ημεραν* (:: cf ad v. 46) | *καθοτι* (13. *καθωσ*, 180. *καθο*): D^{gr*} *τοισ*, 31* om *καθ* usq *ειχ.*

46. *καθ ημεραν τε*: D* *παντεσ τε*, d *omnes quoque* ... D$^{gr\,2}$ *καθ ημεραν· παντεσ τε* | *προσκαρτερουντεσ*: D^{gr} *προσεκαρτερουν* | *ομοθυμαδον*: c 69. 104. syr^{sch} post *εν τω ιερω* pon ... 3. 103^{mg} om | *κλωντεσ τε* (61. 117 om; 47* 1^{lect} 8pe *δε*, 40. *τε και*) *κατ οικον αρτον* ... D *και κατ οικους αν* (^{s}om) *επι το αυτο κλωντεσ τε αρτον*, d (praegressis *omnes quoque perseverantes in templo*) *et per domos id* (corr. est *in id*) *ipsum capiebant panes*

47. *λαον* et. Or^{3,673} etc ... D *κοσμιον* | *τουσ σωζομενουσ καθ ημεραν*: 13. 36. 1^{lect} (similiter arm aeth) *καθ ημερ. τοισ σωζομενοισ* (hoc ordine 13; item 36. 1^{lect}?) | *επι το αυτο.*^{3,1} *πετροσ δε* c. ℵABCG 61. vg sah cop arm aeth. Confirmant Cyr$^{glaph\,185}$ (*γεγραπται δε και εν ταισ πραξεσι τ. αππ. πη μεν οτι ο μεν κυριοσ προσετιθει τουσ σωζ. καθ ημεραν επι το αυτο. πη δε δη αυ·* etc) Leif^{231} (Gall^{6}. Ibi exscribitur 3, 1—10 ad verbum, inde a verbis: *Petrus autem et Iohannes ascendebant*) ... D *επι το αυτο εν τη εκκλησια. Εν δε ταισ ημεραισ ταυταισ πετροσ* ... ς Ti *τη εκκλησια* (haec Gb^{0}). ^{3,1} *Επι το αυτο δε πετροσ*

III.

1 *Πέτρος δὲ καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ τὴν*
14, 8 *ὥραν τῆς προσευχῆς τὴν ἐνάτην.* 2 *καί τις ἀνὴρ χωλὸς ἐκ κοι-*
λίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο, ὃν ἐτίθουν καθ' ἡμέραν
πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην ὡραίαν τοῦ αἰτεῖν ἐλεη-
μοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν· 3 *ὃς ἰδὼν Πέτρον*
καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερὸν ἠρώτα ἐλεημοσύνην

---

cum KP al pler cat^{56} syr^{utr} (sed syr^{sch} *εν τη εκκλ.* expressit, ac libere pergit: *Et factum est ut quum ascenderent Sim. Ceph. et Ioh. simul* etc) Bas$^{sel\ or\ 21,\ 119}$ (certe enim affert: *επι το αυτο γαρ, φησι, πετρος* etc) Chr$^{9,\ 66\cdot\ 73}$. Eandem lectionem Bedr$^{etr\ 111}$ testatur: *In Graeco ita legitur: Dominus autem augebat* (e *adiciebat*) *qui salvi fierent quotidie ecclesiae, ac deinde altera narratio incipit.* Ad ea vero quae sequuntur: *In id ipsum* (e *Id in ipsum*) *autem Petr. et Ioh. ascendebant in templum* adnotat: *Quod superiori sententiae ita potest aptari: Cum dominus quotidie praedicantibus apostolis in ecclesiam suam credentes aggregaret, ascendebant apostolorum primi in templum, deum rogaturi in id ipsum, id est, ut ecclesiae suae semper augmenta procuraret.* Lectionis ecclesiasticae ratio iudicari potest ad 104, qui sic habet: *τη εκκλησια· επι το αυτο δε* ΑΡΧΗ *πετρος*, quibus in margine ipsum initium lectionis additur hunc in modum: *εν ταις ημεραις εκειναις πετρος και ιω.* Qua ex re antiquissima huius loci scriptura, quam NABCG etc testantur, derivari non potest. | *ιωαννης* cum NACKGP etc: HD *ιωαννης* | *ανεβαινον*: C *ανεβεννον*, A *αναιβεννον* | *εις το ιερον*: D add *το δειλεινον* (d *ad vesperum*) | *την ενατην* cum NABCDEGP 1. al permu ... ς *τ. εννατην* cum 13. 61. al plu. Praeterea D* (praegressis *επι την ωραν*) *εναται τη προσευχης*, D^2 *την εναταν της προσευχης* (d *ad horam nonam orationis*)

2. *και τις* (et. Lcif^{6,231} etc): D* d syr^{sch} *και ιδου τις* | *υπαρχων* (vg *qui erat claudus ex* etc, e *claudus ex - constitutus*): D om, nec Lcif cop etc exprim | B* *εβασταζε* | *προσ την*: 61. *επι την* | *θυραν* (d e Lcif *ianuam*, vg *portam*) ... E 27. 29. 40. 66** 69. 96. 104. 163. al$^{2\ ser}$ Bas $^{sel\ 120}$ *πυλην* :: cf v. 10 | *λεγομενην*: G 1. 4. 34. *καλουμενην* | *παρα των εισπορευομενων* (d *ab his qui ingrediebantur*, e vg Lcif *ab introeuntibus*): D$^{Gr^*}$ *παρ αυτων εισπορευομενων αυτων*

3. *ος ιδων* (CD^{2}E *ειδ.*): D reg *ουτος ατενισας τοις οφθαλμοις αυτου και ιδων*, d *hic respiciens oculis suis et* (^{2} om) *vidit*, reg *hic contemplatus oculis cum vidisset* | *ος ιδων* usque *εις το ιερον*: 61* om, ^{2}*ιδον τε τον πετρ. και ιωαν.* | BD *ιωαννην* | *εισιεναι*: D$^{Gr^*}$ *ειναι* (^{2}*εισειεναι*) | *ηρωτα*: C *ερωτα* ... D reg sah cop syr^{sch} aeth add *αυτους* | *λαβειν* cum NABCKG 13. 61. al vix mu cat^{00} (E add *παρ αυτων*, item cop) cop arm Chr^{9,73}. Paullo liberius sah *rogavit eos dare sibi eleemosynam*, similiter syr^{sch} aeth ... DP h al^{70} (omnes ap Scri praeter 61.) reg syr^{p} Lcif^{231} (*rogabat eleemosynam*, reg *rog. illos eleem.*) om, hinc Gb^{00}

λαβεῖν. 4 *ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ εἶπεν· βλέψον εἰς ἡμᾶς.* 5 *ὁ δὲ ἐπεῖχεν αὐτοῖς προσδοκῶν τι παρ' αὐτῶν λαβεῖν.* 6 *εἶπεν δὲ Πέτρος· ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου περιπάτει.* 7 *καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρεν αὐτόν· παραχρῆμα δὲ ἐστερεώθησαν αἱ βάσεις αὐτοῦ καὶ*

4. *ατενισας*: D *εμβλεψας* | *πετρος*: D o *πετρ.* | *εις αυτον*: ℵ 104. *προς αυτ.* Praeterea G arm ante *πετρος* pon | *συν τω ιωαννη* (-*νν*- hoc loco et. B) *ειπεν*: D* *συν ιωαννην* (^{2} -*αννη*) *και ειπεν*, d *cum iohannen et* (^{2}om) *dixit* | *ειπεν*: 99. e^{ascr} Thphyl^{A} *ειπον* | *βλεψον*: D *ατενισον*

5. *ο δε επειχ. αυτοις* (d *ad ille adtendebat eos*) ... DE^{r} *ο δε ατενισας αυτ.* | *τι παρ αυτων* (C *αυτου*) *λαβειν* cum ℵ^{ANDGP} al plr cat^{60} syr^{P} Chr^{2,73} ... ℵ 42. 103. (reg) sah cop arm *λαβ. τι παρ αυτων*, reg *accipere aliquid ab eo*, D vg Lcif *τι λαβ. παρ αυτων* (vg Lcif *se aliquid acceptarum ab eis*), syr^{sch} *accipere ab eis aliquid*

6. *ειπ. δε πετρ.* (D o *πε.*) cum ℵ^{BDEP} al omn^{vid} reg syr^{sch} (non expri *δε*) syr^{P} arm aeth (*et dixit Petr.*) Bas$^{\text{eth}\,278}$ Chr^{2,73} Cyp^{323} Lcif^{231} ... A^{CG} vg sah cop *πετρ. δε ειπ.* | *ουχ*: ℵ^{C} *ουκ* | *ναζωραιου* (C -*ρεου*): ℵ$^{\text{a}\,\text{CD}}$ *ναζαρ-* ... Eus$^{\text{dem}\,119}$ Epiph^{701} Bas$^{\text{acl}\,121}$ Thdrt^{1,955} Euther^{5,1180} Or$^{\text{int}\,2,105}$ Hil^{287} (*in nomine domini nostri Ie. Chr.*) om, non item Ir$^{\text{int}\,74}$ Or$^{\text{int}\,4,679}$ Cyp etc (Amb modo habet, modo om) | *περιπατει* sine additam cum ℵ^{BD} sah ... ς Ti praem *εγειραι* (c. C al mu; Ti -*ρε* c. A^{CEGP} 61. al pmu) *και*, Lu [*εγειρε και*], cum A^{CEGP} al omn^{vid} reg vg cop syr^{utr} arm aeth Ir$^{\text{int}\,194}$ (sed om *και πιασ. αυτον* usq *ηγειρεν*) Or$^{\text{int}\,2,105}$ et^{4,679} Eus^{dem} Bas^{eth} Bas^{acl} Chr Sev$^{\text{cat}\,50}$ Thdrt Euther Cyp Lcif; item Epiph *αναστα και*. Cf et. Did$^{\text{tri}\,8,21}$ *εν τω ονομ. ιυ χυ εγερθητι*, nil praeterea (contra Bas^{acl} *ουκ αρκει το εγειρε, προστεθηκε και το ετερον, περιπατει*) :: certum est in summa antiquitate lectum esse *περιπατει* absq additamento. Sin autem hoc, fieri vix poterat quin iam inter primos lectores ad exemplum locorum notissimorum Mt 9, 5 Mc 2, 9 Lc 5, 23 Ioh 5, 8 substituendum videretur *εγειρε και περιπατει*. Aliis visum est *εγειρε και* omissum esse propter ea quae sequuntur: *και πιασας – ηγειρεν*. Hoc ut per se parum probabile est (cf Sev$^{\text{cat}\,60}$ *οὐ γὰρ ἂν – ἴσχυσεν, εἰ μὴ – ἐπέρρωσαν οἱ ἀπ. χειρὶ χεῖρα ἀράψαντες*), ita non commendatur eo quod antiquissimis tantum et principalibus nititur testibus, quibus toties solis scriptura ipsa apostolica servata est.

7. *ηγειρεν αυτον* cum ℵ^{ABCG} 15. 18. 36. 61. reg vg syr^{utr} arm sah cop aeth Bas$^{\text{eth}\,279}$ Bas$^{\text{acl}\,121}$ Cyp^{323} Lcif^{231}. Sed reg vgcle fu demid Cyp Lcif *et adprehensa manu eius* (*eius manu*; am vero *ei manu*) *dextera* (Lcif ante *manu* pon) *excitavit* (*adlevavit*, *erexit*) *eum*. Nec aliter *αυτον* prius a plerisq interpretibus exprimitur ... ς Ti om *αυτον* (:: praegresso *αυτον*) cum DE^{P} al plr Chr$^{2,73\,\text{bis}}$ Sev$^{\text{cat}\,60}$ (d *et adprachensum cum dextera manu suscitabit*, e *et adprehendens eum dextera*

τὰ σφυδρά, 8 *καὶ ἐξαλλόμενος ἔστη, καὶ περιεπάτει, καὶ εἰσῆλθεν σὺν αὐτοῖς εἰς τὸ ἱερὸν περιπατῶν καὶ ἀλλόμενος καὶ αἰνῶν τὸν θεόν.* 9 *καὶ εἶδεν πᾶς ὁ λαὸς αὐτὸν περιπατοῦντα καὶ αἰνοῦντα τὸν θεόν·* 10 *ἐπεγίνωσκον δὲ αὐτόν, ὅτι αὐτὸς ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ, καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκστάσεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ.*

11 *Κρατοῦντος δὲ αὐτοῦ τὸν Πέτρον καὶ τὸν Ἰωάννην συνέδρα-*

---

manu elevavit). De Ir^{int} vide ad v. 6. | *παραχρημ. δε*: D reg syr^{sch} Ir^{int} (sed vide ante) *και παραχρ.* | *εστερεωθησαν*: D pracm *εσταθη και*, item reg pracm *stetit* | *αι βασεισ αυτου* c. ℵABC 61. reg vg Bas$^{sol\ 121}$ Sev$^{cat\ 50}$ Leif ... ς Ti *αυτου αι βασεισ* cum DKGP al pler cat Chr. Item Ir$^{int\ 194}$ *et statim eius confirmati sunt gressus et plantae* :: *αυτου* praeponendum videbatur quoniam ad utrumque et *αι βασ.* et *τα σφυ.* spectat. | *σφυδρα* cum ℵ*AB*C* (*φυδρα*) :: eadem forma ap Hesych sic: *σφυδρα· η περιφερεια των ποδων* ... ς Ln Ti *σφυρα* cum ℵ^{c}B^{2}C^{2}D KGP al pler ... l. *σφυρια*

8. *περιεπατει*: D add *χαιρομενος*, K *χαιρων*. Similiter reg? Habet enim *Et ambulabat* – (nonnihil periit) *et exsultans*; *introivit autem* etc. | *περιπατων* (5. 13. ante *εισ τ. ιερ.* pon) *και αλλομενος* et. Ir$^{int\ 194}$ Leif ^{231} etc ... D reg aeth^{utr} om | *και αινων* cum ℵHCKP al omn^{vid} cat vg cop syr^{utr} arm (aeth) Ir^{int} Bas$^{sol\ 122}$ Chr^{9,74} ... Ln [*και*] *αιν.*, Ti om *και* cum A sah Leif (item D reg om, omissis vero *περιπ. και αλλομ.* debebant omittere)

9. *ειδεν*: c al pauc *ιδεν* | *αυτον* hoc loco cum ℵABCD 61. cat^{60} reg vg ... ς ante *πασ ο λαοσ* cum KP al pler Leif^{231} Chr^{9,74} | *θεον*: c *κυριον*

10. *δε* cum ℵABC 15. 18. 19. 61. cat^{60} c reg vg cop Bas$^{sol\ 122}$ ... ς Ti *τε* cum DKGΓP al pler arm syrP aeth Chr^{9,74} Leif^{231} ... sah syr^{sch} non exprim | *αυτον*: ℵ* om, ℵ^{a} suppl | *αυτοσ* cum HAC 15. 18. 36. 38. 40. 61. cat^{60} reg vg syr^{sch} aeth Bas^{sol} Leif^{232} ... ς Ti *αυτοσ* cum BDKP al pler sah cop arm syrP Chr | *ην*: 40. 101. Chr^{9,74} *εστιν* | *καθημενοσ*: D *καθεζομενοσ* | *επι τη ωραια πυλη* et. ℵ^{c} (nisi quod *πυλην* per incuriam non attigit): ℵ* *επι την ωραιαν πυλην* | *θαμβουσ*: c -*βου* | *και εκστασεωσ* (D *εκτασ.*, sed d *stupefactionis*): arm om. Reddunt *εκστασεωσ* vg *extasi*; e Leif *admiratione*, item reg (*et impleti sunt omnes admiratione, et stupebant de eo quod accidit illi sanitas*). Quam ad rem cf Bedretract^{112} *Alia editio pro ecstasi, id est excessu mentis, admirationem non proprie posuit, quia maior admiratio solet nonnunquam mentem ad excessum deducere* etc. | *συμβεβηκοτι* (et. HABCDP etc; K vero *συνβ.*) ... D *γεγενημενω* (sed d *quod contegerat ei*. Item vg *contigerat ei*, e *attigit ei*, Leif *acciderat*; reg vide ante)

11. *κρατουντοσ δε* (A *τε*, item syr^{sch}) *αυτ. τ. πε. κ. τ. ιωαν.*: D reg *εκπορευομενου δε του πετρου και ιωανου* (d reg *-νν-*). Praeterea vg^{clxt} *cum viderent autem* | *αυτου* cum ℵABCDE 61. al^{20} vg sah cop syr^{utr} arm (aeth reddit *κρατουντων αυτων*) ... ς (= Gb Sx) *του καθεντοσ*

μεν πᾶσ ὁ λαὸσ πρὸσ αὐτοὺσ ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντοσ 3, 12
ἔκθαμβοι. 12 ἰδὼν δὲ ὁ Πέτροσ ἀπεκρίνατο πρὸσ τὸν λαόν· ἄνδρεσ
Ἰσραηλεῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε ὡσ ἰδίᾳ
δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσιν τοῦ περιπατεῖν αὐτόν; 13 ὁ θεὸσ Lc 20, 37 pp Ex 3, 6
Ἀβραὰμ καὶ ὁ θεὸσ Ἰσαὰκ καὶ ὁ θεὸσ Ἰακώβ, ὁ θεὸσ τῶν πατέ-
ρων ἡμῶν, ἐδόξασεν τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ὃν ὑμεῖσ μὲν παρε-

---

χωλου cum P al longe plu Thphyl[a] et[b], item Chr[7,75] *του ιαθεντοσ*, item colb (sic ap Sab ad hunc versum) *cum teneret autem Petrum et Iohannem is qui sanus fuerat effectus* | *τον* ante *ιωαν.* cum ℵAB 31. 61. 69. 100. 127. 130. Chr[9,75] ... ς Ti om cum CΞP (D vide ante) al pler | *προσ αυτουσ* (4. 163. *-τον*) hoc loco c. ℵABC 61. 130. reg colb vg syr utr sah arm aeth ... ς post *συνεδραμεν* cum EP al pler cop | *συνεδραμεν* usque *επι* (25. 119. 134. *εν*) *τη στοα*: D *συνεξεπορευετο κραταν αυτουσ· οι δε θαμβηθεντεσ εστησαν εν τη στοα.* Item reg *simul et ipse prodibat* (superest tantum *pro-*) *tenens eos*; iam vero pergit *et concurrit omnis populus ad eos ad porticum* | *τη στοα τη*: D* *τη στοα η* | *σολομωντοσ* cum ℵABCP 1. 13. 31. 61. al plu[vid] cat[61] (A *σαλομ.*) ... Gb Sx Ti *σολομωροσ* cum DR 104. c[ser] al vix mu :: tanta quum hoc loco scriptura *-ντοσ* (quanta nullo alio loco) utatur auctoritate, haud deserenda videtur. Constantiae enim lex quae nobis scripta est, non sine arbitrio antiquis infertur. Sed cf et. ad 5, 12.

12. *ιδων* (E *ειδ.*) *δε* usq *απεκρ. πρ. τ. λαον* (reg *respondit ad populum et dixit*, sah *dixit eis*, syr[sch] *respondit et dixit eis*): D *αποκριθεισ δε ο πετροσ ειπεν προσ αυτουσ* | *ο πετρ.* cum ℵABCD 5. 13. 61. al[2 ser] cat[61] ... ς om *o* cum EP al pler Chr[9,79] | *ισρα-* ut ℵB[2]CD[Er]P etc: ℵ *ισδρα-*, B*ℵ[Er] *ιστρα-*, d *istrahelitae* | *-λειται* cum ℵAB* ... ς Ln *-λιται* cum B[2] CDEP al omn[vid]. Cf etiam ad 2, 22 | *επι τουτω*: 13. 31* 61. 8P[e] Severian[6,541] *επι τουτο* | *η ημιν*: ℵ *ει ημιν* | *ωσ ιδια* etc: D Severian[6,541] *ωσ ημων τη ιδια δυν. η* (Sev *και*) *ευσεβ. τουτο* (Severian om) *πεποιηκοτων του* (DE[r]* *τουτο*, 61. om) *περιπατ. αυτον* (d *ut ambulet hic*;), reg *quasi nos nostra virtute aut potestate* (hac voce deficit codex) | *η ευσεβεια* (*aut pietate*) et. am fu demid colb sah cop syrP aeth arP Cassiod[Ps 44] ... reg vg[cle] tol syr[sch] arm ar[e] Chr[6,306] *aut potestate*, *η εξουσια* ... Ir[int 194] plane om | *αυτον*: E *τουτον*, item (ut e) *hunc* vg Ir[int] Cassiod (d *hic* vide ante)

13. *ο θεοσ* alterum et tert cum ℵACD 15. 18. 25. 36. 130. 17[lect] cat[60] (sed AD 25. 36. cat[com 61] om *o* utrumq: sic Ln) vg cop arm aeth ar[e] Ir[int 194] Didtri[3,6] Chr[9,60] cat[com] ... ς Ti om utrumque cum BEP 61. al pler sah syr[utr] arP Severian[541] (opp Chr[6]) Thdot[anc 426] (Gall[9]) :: magis vdtr omissum quam inlatum; similiter lectio fluct apud LXX, nec enim modo articulus fluctuat, sed ipsum *o θεοσ* bis a multis omittitur | *ισαακ*: D *ισακ*, *isac* | *παιδα* (sic demum ℵ[c] correxit): ℵ* miro errore *πατερα* (sed utitur compendio) | $\overline{\omega}$ et. Didtri Severian Chr Thdot[anc] ... D aeth[PP] (non item[ro]) $\overline{\imath\bar{\eta}}$ $\overline{\chi\bar{\rho}}$ ... 29. Ir[int 194] plane om | *υμεισ* (D *ημ.*, d om) *μεν* cum ℵABCEP 61. al plus[70] vg syrP Ir[int] Didtri

δώκατε καὶ ἠρνήσασθε κατὰ πρόσωπον Πειλάτου, κρίναντος ἐκείνου
ἀπολύειν· 14 ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτή-
σασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν, 15 τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς
5, 31 ἀπεκτείνατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές
ἐσμεν. 16 καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον, ὃν
θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσεν τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις
ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάν-
των ὑμῶν. 17 καὶ νῦν, ἀδελφοί, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε,

---

Chr Hier$^{esai\,52}$ ... ς (= Gb Sz) om μεν cum D 1. 13. 31. al vix mu Thdot^{anc} (vv mu solent omittere) | παρεδωκατε: D syr$^{p\,mg}$ Ir^{int} add εισ κρισιν, item E εισ κριτηριον (e Ir^{int} *in iudicium*, d *in iudicio*) | ηρνησασθε (D απηρν.) sine αυτον cum ℵABC 15. 18. 27. 29. 36. 61. 64. 69. 118. 130. 163. cat^{62} vg cop arm aeth Ir^{int} Did^{tri} Thdot^{anc} Hier$^{esai\,52}$ ... ς (sed Gb^{o}) add αυτον cum DEP al plu sah syr^{utr} Chr | πειλατου cum B*D ... ς Ln Ti πιλ. cum ℵAB^{2}CEP etc. Cf alibi. | κριναντοσ (C 13. -νοντοσ) εκεινου απολυειν (ℵ απολλυειν, 43. sah cop syr^{utr} add αυτον): Ir^{int} *cum remittere vellet*; aeth^{utr} *volente eo vivum eum servare vobis*, Hier$^{esai\,52}$ *volentis eum dimittere* ... D του (^{2}om) κρειναντοσ εκεινου απολυειν αυτον θελοντοσ (^{2}om θελ.), d *cum iudicasset ille dismittere eum voluit*. Cf Chr^{9,80} δυο τα εγκληματα, και οτι πιλατοσ ηθελεν απολυειν, και οτι υμεισ εκεινου θελησαντοσ ουκ ηθελησατε. Post vero^{83}: και ουκ ειπε θελησαντοσ, αλλα κριναντοσ εκεινου απολυειν.

14. ηρνησασθε: D εβαρυνατε, item Ir$^{int\,194}$ *aggravistis* (d *grabastis*), Aug$^{pecc\,mer\,28}$ *inhonorastis et negastis* | ητησασθε: D ητησατε ... E syr$^{p\,mg}$ praem μαλλον | χαρισθ. υμιν: E Aug$^{pecc\,mer}$ praem ζην και

15. ο θεοσ: 13. om

16. επι cum ℵ^{c}ACDEP al pler (119. εν) cat^{63} vg sah cop rell Ir$^{int\,194}$ Severian^{541} Chr^{9,80} et^{84} (Latini per *in* redduut, ut etiam d e) ... ℵ*B 4. 60. 61. 103. arm om. Cf et. Chr^{9,84} τίνοσ ἕνεκεν οὐκ εἶπεν· διὰ τοῦ ὀνόματοσ, ἀλλ' ἐν τῷ ὀνόματι; At bis praecessit επι. | τουτον ον θεωρ. κ. οιδ. εστερεωσεν ... D^{gr*} τουτον θεωρειτε και οιδατε οτι εστερεωσεν. Praeterea sic distinxit Ln: εστερεωσεν· το etc. Contra quam distinctionem praeter codd est etiam Chr$^{com\,9,84}$: ἐπήγαγε· και το ονομα αυτου εστερεωσεν αυτον. | το ονομα αυτου et. Ir^{int} Severian: syr^{sch} om (habet autem sic pro libertate interpretis: *ipse confirmavit et sanavit*); 31. transilit ab αυτου (post ονοματοσ) ad αυτου (post ονομα) | η δι αυτου: A* om η (sed ipse* ut vdtr add)

17. αδελφοι et. Ir$^{int\,194}$ Cyr$^{ioel\,231}$ etc ... DE ανδρεσ αδελφοι | οιδα et. Ir^{int} Cyr$^{ioel\,231}$ etc ... D arm^{edd} επισταμεθα (d* om, d^{2} *scimus*), 11. 24. 117. 133. οιδατε (aeth *scitote*) | οτι: D add υμεισ μεν | επραξατε: D* add πονηρον, D^{2} το πονηρον, d *iniquitatem*, item syr$^{p\,mg}$, item Ir^{int} *nequam*, Aug$^{qu\,66}$ (pag^{2881}) et Ambrst^{86} et^{118} *hoc malum*

ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν· 18 *ὁ δὲ θεὸς ἃ προκατήγγειλεν διὰ στόματος πάντων τῶν προφητῶν, παθεῖν τὸν Χριστὸν αὐτοῦ, ἐπλήρωσεν οὕτως.* 19 *μετανοήσατε οὖν καὶ ἐπιστρέψατε πρὸς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας, ὅπως ἂν ἔλθωσιν καιροὶ ἀναψύξεως ἀπὸ προσώπου τοῦ κυρίου* 20 *καὶ ἀποστείλῃ τὸν προκεχειρισμένον ὑμῖν Χριστὸν Ἰησοῦν,* 21 *ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων ὧν ἐλάλησεν ὁ θεὸς*

---

18. ο δε θεος: 13. ο θεος δε | ἃ et. Ir$^{int\ 194}$ etc: D^{gr} syr^{sch} (non itemP) o, arm ως ... demid bodl hal vg$^{cl\ ix}$ Ir^{int} ex^{voss} et$^{feuard\ mg}$ Vig$^{varim\ 150}$ *qui* | παθειν τον χν (61. χρηστον): A om | αυτου post τον χν (Gb″) cum ℵBCDE 8. 15. 18. 25. 27. 36. 43. 61. 65. 66** c^{ser} vg arm syr^{p} (nec aliter syr^{sch} ut prorsus vdtr) aeth^{pp} Ir$^{int\ 194}$ Chr^{9,81} Vig^{varim} (ex his 66** c^{ser} aeth^{pp} Vig αυτου etiam post προφ. add) ... ς post προφητων cum P al plu (item A sed om παθ. τ. χν) cop aeth^{ro} ... 69. 163. sah neutro loco habent | επληρ. ουτως: Ir^{int} *adimplevit* (absque *sic*)

19. επιστρεψατε: C* επιτρ. | προσ cum ℵB ... ς Ln Ti εισ cum ACDEP al om^{vid} Chr^{9,81} Cosm^{508} ... d *ad hoc ut deleantur*; e m^{81} vg Ir^{int} *ut deleantur*, Tert$^{res\ carn\ 22}$ *ad abolenda* :: difficile dictu est utrum magis alienam manum prodat; tamen saepius εισ eum in modum adhibitum quam προσ (de hoc cf Mt 23, 5 Lc 18, 1. 2 Co 3, 13. 2 The 3, 8). Substitutum est sine dubio a testib mu εισ pro προσ Eph 6. 11; aliter lac 3, 3 factum videtur. Hoc quidem loco εισ ad modum formulae εισ αφεσιν αμαρτιων conformatum videtur. | υμων ante τασ αμαρτιασ (*vestra peccata* am fu): D m^{81} vg^{cle} (et. demid) Ir^{int} Tert$^{res\ carn}$ post αμαρτ. pon | οπως αν ελθωσιν (D^{gr} επελθωσιν, Tert$^{res\ carn}$ *superveniant*): e vg *ut cum venerint.* | αναψυξεως: E tol add υμιν, item post ελθωσιν syr^{sch} et^{p} c.* cop Ir^{int}, et ante *superveniant* Tert$^{res\ carn}$. Cf Bed$^{retract\ 112}$: *In quadam translatione hunc versum ita propter explanationem sensus positum invenimus: Ut cum venerint tempora refrigerii, veniant et vobis a facie domini. Et revera in Graeco sic scriptum est, cum additamento pronominis illius: Ut cum venerint vobis tempora refrigerii a facie domini.* | του κυριου: E 26. 31. 36. 95. 98. 104. 180. k^{ser} al pauc om του

20. προκεχειρισμενον cum ℵABCDEP al plus^{70} cat Chr$^{9,81\cdot 85}$. Item *praedestinatum* d, *qui praedestinatus est* e, *praeparatum* Ir$^{int\ 194}$, *praedesignatum* Tert$^{res\ carn\ 22}$, similiterque sah syr^{utr} arm (aeth^{utr} προκεχρισμενον reddit) ... ς (= Gb Sz) προκεκηρυγμενον (:: cf 13, 24) cum minusc vix mu vg (*qui praedicatus est*) cop (*prius annunciatum*) Cosm^{508}. Cf et. Or^{3,148} πιστευειν – εισ ιν χν τον προκεκηρυγμενον υπο των προφητων χαριτι θεου παραδεχεσθαι. | χν ιν cum ℵBD^{gr}EP 3. 4. 20. 46. 80. 95. 96. 101. 105. 126. 177. al$^{5\ ser}$ al sah syr^{p} ... ς ιν χν cum AC 61. al plu cat vg syr^{sch} cop aeth Ir^{int} Chr$^{9,81\cdot 85}$ Cosm^{508} ... Tert$^{res\ carn}$ om ιν

διὰ στόματος τῶν ἁγίων ἀπ' αἰῶνος αὐτοῦ προφητῶν. 22 Μωϋ-
Lc 1, 70 Dt 18, 15. 19 Gen 17, 4 σῆς μὲν εἶπεν ὅτι προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἡμῶν
ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα
ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. 23 ἔσται δὲ πᾶσα ψυχὴ ἥτις ἐὰν
μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου ἐξολεθρευθήσεται ἐκ τοῦ λαοῦ.

---

21. στοματ. των cum ℵABCD h 27. 61. 81. 105. 127. 142. 163. vg sah cop syr^{sch} arm aeth Or$^{3,221.\ 798}$ Chr^{9,81} Ir$^{int\ 194}$ Tert$^{res\ carn\ 23}$ ... ς (= Gb Sz) στομ. παντων cum pauc ut^{vid} minusc Cosm^{503}; sed EP al^{60} fere cat Chr^{9,86} στομ. παντων των. Item syr^{p} | απ αιωνος αυτου προφητων cum ℵ*AB*C 61. 69.; item praemisso των ℵ^{c}B^{3}E al cat ... 4. 13. Or^{3,221} αυτου (4. 13. add των) απ αιω. προφητων, vg (praecedit *sanctorum*) *suorum a saeculo prophetarum*; Or^{3,798} εξ αιωνος προφητ. αυτου ... D αυτου των προφητων, item 19. arm Cosm^{503} (παντων αγιων αυτου προφητων) Ir$^{int\ 194}$ (*per sanctos prophetas suos*) Tert$^{res\ carn\ 23}$ (*sanctorum prophetarum*) om απ αιωνος (Gb^{00}) ... ς αυτου προφητων απ αιωνος cum P al plu syr^{utr} cop (*prophet. suorum sanctorum ab aeterno*; sah απ αιωνος cum ελαλησεν conjg) aeth Chr^{9,86} (et^{9,81} των αγιων αυτω προφητων των απ αιωνος)

22. μωυσης cum ABCD 1. 2. 4. 13. 38. 47. 56. 61. al$^{7\ scr}$ al mu cat ... ς μωσης cum ℵEP al plu. De vv vide alibi. (Ir^{int} *Moyses*) | μεν sine γαρ cum ℵABCDE 13. 15. 18. 25. 33. 34. 36. 42* 61. al^{10} cat vg sah cop syr^{p} arm aeth Ir$^{int\ 194}$ Chr^{9,81} ... ς (= Gb Sz) add γαρ cum P al plu syr^{sch} Chr^{9,86} | ειπεν sine additam (Gb″) cum ℵABC 15. 18. 36. 61. 130. 12^{lect} vg syr^{sch} cop ... ς praem προς τους πατερας cum paucis ut^{vid} minusc cat Thphyl^{a} et^{b}. Eadem (addito ημων D 13. al sah arm^{cd} aeth^{utr} Ir^{int}, addito υμων E 24. 43. Bed^{retr} ex „Graeco") postponunt DE al mu sah arm aeth^{utr} Ir^{int} Chr$^{9,81.\ 86}$ Bed$^{retr\ 114}$ ex „Graeco". Habet enim sic: *Initium huius loci in Graeco plus habet: Moyses quidem dixit ad patres vestros quia prophetam* etc | ο θεος ημων cum ℵ*CEP 38. 95. 99. 118. 134. 180. 12^{lect} al^{20} fere (8 ap Scri) sah fragm syr^{p} aeth Iust$^{quaest\ 101}$ Or^{4,108} (ex actis esse non ex LXX iam inde apparet quod vv 22 et 23 [Deu 15 et 19] simul afferuntur, etsi idem fit^{4,117} [non^{268}] praepositis verbis εν τω δευτερονομιω γεγραπται. Utroque loco verba magis ab actis quam ab editione LXX pendent.) ... ς Ln Ti ο θε. υμων c. ℵ^{c}AD 61. al sat mu cat vg arm Ir$^{int\ 194}$ Or^{4,117} (εν τω δευτερονομ. γεγραπτ.) et^{268} Chr^{9,81} ... B 60. sah$^{txt\ woid}$ cop Chr^{9,86} Chron^{143} Cosm^{503} nil nisi ο θεος (syr^{sch} Ign$^{intpol\ 307}$ libere om ο θεος υμων) :: υμων pro contextu aptius quam ημων videbatur. LXX ο θεος σου (σου tantum non fluct) et αδελφων σου | αδελφ. υμων et. Ir^{int} Or$^{4,108.\ 117.\ 268}$ etc ... D^{gr} 5. 14. 57. 95. 12^{lect} Iust$^{qu\ 101}$ ημων | D* ως εμου | λαλησῃ: C 13. 61. 99. 106. 13^{lect} al$^{2\ scr}$ λαλησει

23. εαν cum ℵACP 1. 4. 31. 40. 61. 95. 96. 118. al^{25} ac plur ... ς Ln αν cum BDE al non ita mu cat^{69} Or$^{4,109.\ 117}$ Eus$^{dem\ 28}$ Chr | Chron^{143} ητις ουκ ακουει | εξολεθρευθ. cum AB*CD ... ς εξολοθρευθ. cum ℵB^{3} EP al omn^{vid}, nec aliter editum Or et Eus

24 καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς ὅσοι ἐλάλησαν, καὶ κατήγγειλαν τὰς ἡμέρας ταύτας. 25 ὑμεῖς ἐστὲ οἱ υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης ἧς διέθετο ὁ θεὸς πρὸς τοὺς πατέρας ἡμῶν, λέγων πρὸς Ἀβραάμ· καὶ ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς. 26 ὑμῖν πρῶτον ἀναστήσας ὁ θεὸς τὸν παῖδα αὐτοῦ ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν. Gen 12, 3 22, 18 Gal 3, 8

IV.

1 Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαόν, ἐπέστησαν αὐτοῖς οἱ

---

24. και παντ. δε (et. e sah syrP): D om δε, nec exprim vg syrsch arm cop Irint 194 | D κατεξης | οσοι cum ABC*vidC2EP al omnvid cat d (Dgr* o, d quodquod, e quicumque) Irint (quotquot) Chr2,82 Cosm504 ... ℵC2 Dgr2 οι, item qui vg | ελαλησαν (Dgr* -σεν) ... C2 armed επροφητευσαν | κατηγγειλαν cum ℵABC*vidDEP al70 fere cat vg (adnuntiaverunt) sah cop syrutr arm aeth Irint (ut vg) Chr ... ς (= Gb Sz) προκατηγγειλ. cum C2 al vix mu Cosm

25. οι υιοι cum ℵABCR 61. al plus25 cat69 sah cop ... ς (=.Gb + Sz) om οι cum DP al plu Chr2,82. 86 Cosm504 | ης: D* ην | διεθετο ο θεος cum ℵACEP al omnvid (4. 37. al pauc εθετο) cat vg syrutr arm aeth Chr Cosm ... Ln ο θε. διεθετ. cum BD sah cop Irint 194 | ημων cum ℵ*CDP 1. 13. 31. al pler vg sahfragm cop syrutr armed aeth Irint Chr Cosm ... ℵcABE 25. 38. 61. 69s 103schol kscr cat69 sahwoid armcdd Chr2,82 Thphyl1a etb υμων | εν τω σπερμ. cum ℵABCDE2P al longe plu cat vg sah cop reil Irint Chr ... ς (= Gb Sz) om εν cum minusc ut vdtr pauc Cosm (e et semini tuo) | ενευλογηθησονται cum ℵA2(-γησονται)DEP etc ... C επευλογηθησονται ... A*B 3. 15. 27. 100. 127. 163. escr ευλογηθησονται (A* -γησονται)

26. αναστησας ο θεος cum ℵBC 12lect cat syrsch arm aeth Chr 2,86 ... ς Ln ο θε. αναστ. cum ADEP 1. 13. 31. 61. al pler vg syrP sah cop Irint 194 Chr2,82 catcom 70 | τον παιδ. αυτου sine additam cum ℵBCDK 61. vg sah cop syrutr arm aeth Irint 194 catcom 70 Chr Thphyl c ... ς (= Gb Sz) add ιν cum AP 1. 13. 31. al pler catixt Cosm504 Thphyl1a etb | απεστειλεν: D εξαπεστ. | αυτον: D Irint Chr2,82 et86 Thphyl1a 42 om | ευλογουντα (Dgr -ντασ): 43. 81 al2 scr add και αγιαζοντα | εκαστον: D* -στοσ. Praeterea 5. 13. 27. 29. 106. kscr cop arm add υμων | απο: D εκ | πονηριων: Dgr* -ρων | υμων c. ℵAC2DEP 1. 31. 61. al longe plu syrutr arm aeth Cosm504 catixt 70 ... Ln αυτων c. C* 13. 66** (et 5. 27. 29. al5 αυτου) vg (a nequitia sua) sah cop Irint 194 (a nequitiis suis) ... B Chr2,82 et87 Thphyl c504 catcom 70 (facit cum Thphyl c) om plane

IV. 1. πρ. τον λαον: 13. om ... DE reg syrsch etP mg arc Lcif328 Thphyl1a42 add τα ρηματ. ταυτα (D reg syrsch etP mg arc Thphyl1a) vel ταυτα τα ρημ. (K Lcif) | αυτοισ (13. post οι ιερ. pon): D reg vg Lcif om | οι

ἱερεῖσ καὶ ὁ στρατηγὸσ τοῦ ἱεροῦ καὶ οἱ Σαδδουκαῖοι, 2 διαπονούμενοι διὰ τὸ διδάσκειν αὐτοὺσ τὸν λαὸν καὶ καταγγέλλειν ἐν τῷ
4, 1a Ἰησοῦ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν, 3 καὶ ἐπέβαλον αὐτοῖσ τὰσ χεῖρασ καὶ ἔθεντο εἰσ τήρησιν εἰσ τὴν αὔριον· ἦν γὰρ ἑσπέρα ἤδη. 4 πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν, καὶ ἐγενήθη ἀριθμὸσ τῶν ἀνδρῶν χιλιάδεσ πέντε.

5 Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺσ ἄρχοντασ καὶ τοὺσ πρεσβυτέρουσ καὶ τοὺσ γραμματεῖσ εἰσ Ἰερουσαλήμ, 6 καὶ Ἄννασ ὁ ἀρχιερεὺσ καὶ Καϊάφασ καὶ Ἰωάννησ καὶ Ἀλέ-

---

ιερεισ cum ℵADEP 1. 13. 31. 61. al pler reg vg (*sacerdotes*, ut et. reg Lcif) sah cop syr^{utr} Lcif Chr^{9,98} ... BC 4. arm aeth οι αρχιερεισ | και ο στρατηγοσ: sah syr^{utr} (ex punctis pluralis est) ar^{e} κ. οι στρατηγοι (syr^{sch} his antepon κ. οι σαδδ.). Contra Bed$^{retr\ 116}$ *magistratus numero singulari legendum est, quod ex Graeco facillime claret, ubi* στρατηγοσ *singulariter scriptum est.* | D om κ. ο στρ. του ιερου

2. διαπονουμενοι: C^{*vid} και διαπονουμ.; item aethPP (contra aeth^{ro} ipsum διαπον. om) ... D^{2} καταπονουμενοι (D^{gr*} καιαπονουμ.) | τον λαον: 13. τ. λογον | καταγγ. εν τω ιω την αναστ. (et. Ir$^{int\ 100}$): D αναγγελλειν τον ιν εν τη αναστασει | την εκ νεκρ. cum ℵABCE^{gr} 1. 13. 61. al vix mu cat^{71} vg cop syr^{utr} Thphyl$^{b\ 209}$ ... DP h 31. al^{60} fere e reg sah arm aeth Lcif^{222} Chr^{9,62} Thphyl^{a} *των νεκρων* (Gb″)

3. επεβαλον: 31. 100. 119. 2^{lect} επεβαλλον ... D^{gr} επειβαλοντεσ posteaque D$^{gr\ 2}$ om και ante εθεντο | εθεντο sine αυτ. cum ℵBDP 61. al plu Thphyl^{a} Lcif^{222} (*et iniecerunt in eos manus et posuerunt in custodia*). Sic reg *et iniectis manibus tenuerunt eos et tradiderunt custodiae* ... ACK 13. 15. 31. 40. al^{10} (31. αυτοισ) cat^{71} vg sah cop syr^{utr} arm aeth Chr^{9,98} Thphyl^{b} add αυτουσ | αυριον (ℵ^{a} γαυριον): D 40. επαυριον

4. τον λογον: A om | και εγενηθη etc: D και αριθμ. τε (D^{2} om) εγενετο ανδρων | αριθμοσ cum ℵBD ... ς Ti ο αριθμ. cum AKP 31. 61. al omn vid Chr^{9,98} | χιλιαδεσ cum ℵA 61. vg sah cop aeth Hil^{422} ... ς praem ωσει cum KP al pler cat^{71} Chr; Ln praem ωσ cum BD 12^{lect}. Item reg (*ad quinq. millia*) syr^{utr} arm

5. αυριον: D* add ημεραν (d *in crastinum diem*) | συναχθηναι etc: D συνηχθησαν οι αρχοντεσ και οι πρεσβυτεροι και γραμματεισ. Similiter cop *facto autem crastino congregati sunt principes et presbyteri et scribae* | αυτων cum ℵABEP al pler cat^{72} vg sah syrP etc ... D 3. 95* cop syr^{sch} aeth om | τουσ πρεσβυτ. κ. τουσ γραμμ. cum ℵAB 4. 14. 15. 18. 61. al^{20} cat^{73} ... ς om τουσ utrumque cum KP 1. 13. 31. al plu Chr^{9,98} | εισ ιερουσαλ. cum KP 1. 31. al$^{6\ scr}$ al plu syrP (syr^{sch} om ε. ιερουσα., non item ar^{e}) ... Gb″ Ln Ti *εν ιερουσαλ.* cum ABDE 61. al^{25} fere cat^{72} Chr$^{9,98.\ 97}$. Latt (d e vg) *in hierusalem*

6. κ. αννασ ο αρχιερ. κ. καιαφασ (D καϊφ.) κ. ιωαννησ (D ιωναθασ, d *ioathas*) κ. αλεξανδροσ cum ℵABD (sed praecedit συνηχθησαν, vide

ξανδρος καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ, 7 καὶ στήσαντες αὐτοὺς ἐν τῷ μέσῳ ἐπυνθάνοντο· ἐν ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι τοῦτο ἐποιήσατε ὑμεῖς; 8 τότε Πέτρος πλησθεὶς πνεύματος ἁγίου εἶπεν πρὸς αὐτούς· ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι, 9 εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωται, 10 γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ τῷ λαῷ Ἰσραήλ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. 11 οὗτός ἐστιν ὁ

3, 6. 16

Ps 117, (118), 22. Mt 21, 42. pp

---

ante) 15. 18. 36. 61. (reg vg sic: *factum est autem in crastinum ut congregarentur - et Annas princeps* etc. Similiter sah cop aeth) ... ς Ti κ. ανναν τον αρχιερεα κ. καϊαφαν κ. ιωαννην κ. αλεξανδρον cum ΕΡ 1. 13. 31. al pler Chr^{9,93} | αρχιερατικου (d reg *pontificali*): 16. 18. 26. 31* 46. 1^{lect} ιερατικου, item *sacerdotali* e vg

7. *εν τω μεσω* cum ΝΑΒ 61. al vix mu cat^{73} ... Gb Sa Ti *εν μεσω* cum DΚΡ 1. 13. 31. al^{50} fere ac plur Chr^{9,93} | τοιτο εποιησατε (sic ℵ* ipse ex ποιειτε correxit) υμεις cum ΝΕ ... ς Lu Ti επoι. τουτ. υμεις cum ΑΒDΡ al pler vg (reg vero - *id fecissent*) Chr^{9,93}; item 40. (al^{vid}) arm (cop?) *επ. υμεις τοιντο.* Syr^{sch} ar^{e} sah *υμεις* non exprim

8. *πρεσβιτεροι* sine additam cum ΝΑΒ vg (etiam colb ap Sab) sah cop aeth Cyr$^{essai\ 164}$ e$^{tact\ 25}$ Fulg (vide Sab) ... ς Ti add *του ισραηλ* cum DΚΡ al pler (33. 34. *του λαου ισρ.*, 96. *ισρ.* sine *του*) cat^{73} reg syr^{utr} arm Chr^{9,94} bis Ir$^{int\ 194}$ (*seniores israelitae*) Cyp^{292}. Item Bed$^{retract\ 116}$: *in Graeco habetur plus: Et seniores Israel, audite. Similiter in seqq ubi dictum est: In hoc iste adstat coram vobis sanus, in Graeco habetur: coram vobis sanus hodie, et in nullo alio* | Post *πρεσβιντ.* [του ισρα.] Ε 15. 18. 37. cat^{73} vg^{cle} (non item am fu demid) colb syr^{sch} ar^{e} aeth (sed transpon) Cyp^{292} (non item Ir^{int}) add *ακουσατε.* Item Bed^{retra} ex „Graeco", vide ante

9. *ανακρινομεθα*: DΕ reg syr^{utr} aeth^{PP} (non ^{ro}) ar^{e} Ir$^{int\ 194}$ Cyp^{292} add *αφ υμων* | *επε*: D 31. 45. 46. *επ* | *σεσωται* cum ΝΑ (al? Conlatores non adtenderunt) ... ς Ln Ti *σεσωσται* cum ΒDΕΡ etc. Cf Suidas: *σεσωται και σεσωμενος οι παλαιοι ανευ του σ - οι δε νεωτεροι σεσωσμαι.* Cf etiam Suid sub *εσωθην.* Item cf Steph. Thes. VII, 1703. Quae quum ita sint, idonea caussa non est cur *σεσωται* ab editione arceatur, fultum auctoritate codicum ΝΕ.

10. *ισραηλ*: d e *istrahel* | $\overline{\omega}$ $\overline{\chi\upsilon}$ et. Ir$^{int\ 194}$ Cyp^{292} etc: d *Christi Iesu*, am aeth^{ro} ar^{P} om $\overline{\chi\upsilon}$ ... Ε reg vg^{cle} (non am fu demid) praem *του κυριου* (vg^{cle} *domini nostri*) | ℵ* *ναζοραιου* (ℵ^{c} -ω-). Cf ad 3, 6. 22 | *ενωπ. υμων* et. Ir^{int} Cyr$^{act\ 25}$ ... Ε add *σημερον*, item Bed^{retr} ex Graeco (*sanus hodie*, vide ante) | *υγιης* et. Ir^{int} Cyr^{act} ... Ε reg syr$^{P\ mg}$ Cyp^{292} Bed^{retr} ex Graeco (vide ante) add *και εν αλλω ουδενι* (reg syr$^{P\ mg}$ Cyp *in alio autem nullo*)

λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδόμων, ὁ γενόμενος εἰς κεφαλὴν γωνίας. 12 *καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· οὐδὲ γὰρ ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς.* 13 *Θεωροῦντες δὲ τὴν τοῦ Πέτρου παρρησίαν καὶ Ἰωάννου, καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσιν καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν,* 14 *τόν τε ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν.* 15 *κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀπελθεῖν, συνέβαλλον πρὸς ἀλλήλους*

---

11. *ἐξουθενηθεισ* et. cat Did^{tri} ^{2,3} Thdrt^{2,1092} Thphyl^{a} ... 3. 18. 46. 47. 1^{lect} Chr^{2,94} *ἐξουθενωθεισ* (46. 47. *-νουθεισ*?), 4. Or^{4,25} Did^{tri} ^{1,29} Thphyl^{b} *ἐξουδενωθεισ* | *υφ* (al^{6} cat^{73} *αφ*) *υμων*: D *υφ ημων* | *οικοδομων* (Gb″) cum ℵABD al^{20} fere cat^{73} Or^{4,25} Did^{tri} ^{2,3} et^{1,29} ... ς *οικοδομουντων* cum EP al longe plu Chr Thdrt^{2,1092}

12. *και ουκ εστ. εν αλλ. ουδ. η σωτηρια* (D om *η σω.*) et. Did^{tri} ^{2,3} et^{2,7,5} Cyr$^{act\ 25}$ etc ... reg Ir$^{int\ 191}$ Cyp^{292} Augpecc mer al (vide Sab) om. (Qui vero *ουδε γαρ ονομα* etc afferunt sine eis quae praecedunt, huius omissionis testes dici nequeunt, ut Rebapt^{264} ap Gall^{3}) | *ουδε* (Gb′) cum ℵAB al plus^{25} cat^{74} sah cop syrP Did^{tri} ^{2,7,5} Bas^{3,215} Euther^{5,1150} (opp Thdrt) Cyr$^{act\ 24}$ ... ς *ουτε* cum EP al plu Chr^{2,94} ... D reg syr^{sch} Did^{tri} ^{2,19} libere Cyp *ου* | *ονομ. εστ. ετερ.* cum BP al pler am Chr^{2,97} ... AE 13. 31. 32. 38. 57. 96. 113. 163. al$^{3\ scr}$ fu demid tol syrP Chr^{2,94} Cyr$^{act\ 25}$ *ονομ. ετερ. εστιν* ... ℵ cat^{74} vgcle Did^{tri} ^{2,7,5} *ετερ.* (Did *αλλο*) *ονομ. εστιν*, d Rebapt^{264} *aliud est nomen* ... D^{gr} syr^{sch} aeth Did^{tri} ^{2,19} Bas^{3,215} Ir$^{int\ 194}$ Or$^{int\ 4,423}$ *εστ. ετερ. ονομα*, reg Euther^{5,1150} Cyp^{292} (*test* 2,16) *εστ. ονομ. ετερ.* (*non est enim nomen aliud*) | *υπο τον ουρανον* cum ℵABDE al sat mu vg sah cop syr^{utr} arm aeth Ir^{int} Cyp^{292} Bas^{3,215} Did^{tri} ^{2,7,5} (et^{2,19}) Cyr$^{act\ 25}$ etc ... P h 4. 26. 31. 46. al plus^{40} Thphyl^{a} et^{b} om | *το δεδομενον*: D* *ο δεδομ.* (d *quod datum est*) | *εν ανθρωποισ* (e *in hominibus*): D 117. 163. reg vg Ir^{int} Cyp Latt^{rell} om *εν* | *ημασ* cum ℵADEP rell reg vg syrP arm Ir^{int} Cyp Chr Cyr$^{glaph\ 13}$ et$^{act\ 25}$ etc ... B *υμασ*, item Ambrst^{49} (non item ^{27}) ... sah cop syr^{sch} aeth Did^{tri} ^{2,19} et^{2,7,5} om

13. *θεωρουντ. δε* absq additam et. Or^{5,458} Lcif^{232}: 31. 40. 96. 177. d^{ascr} Chr^{2,113} add *οι ιουδαιοι* | *ιωαννου* (et. B): D^{gr} *ιωανου* | *και ιδιωται* (sah *ιδι. εισ. και αγραμμ.*): D om | *τε* (et. Or Lcif etc): D cat^{75} e cop *δε* (sah *και επεγ. δε*)

14. *τον τε* (Gb′) cum ℵABD^{2} (gr* om *τε*)E 5. 13. 27. 34. 40. 69. 100. 104. 12^{lect} c^{ascr} vg sah syr^{utr} aeth Chr^{2,96} Thphyl^{b} Lcif^{232} ... ς *τον δε* cum P al pler cat^{75} cop (*videntes autem etiam*) arm Thphyl^{a} | *βλεποντεσ*: 5. 13. 33. 40. 66. 96. al$^{2\ ascr}$ *θεωρουντεσ* | D* *συν αυτων* | *ειχον* ... D^{gr} reg add *ποιησαι η*

